Tekst 2

Hermes spreekt met Calypso.

97 “Εἰρωτᾷς μ᾽ ἐλθόντα θεὰ θεόν· αὐτὰρ ἐγώ τοι
98 νημερτέως τὸν μῦθον ἐνισπήσω· κέλεαι γάρ.
99 Ζεὺς ἐμέ γ᾽ ἠνώγει δεῦρ᾽ ἐλθέμεν οὐκ ἐθέλοντα·
100 τίς δ᾽ ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
101 ἄσπετον; Οὐδέ τις ἄγχι βροτῶν πόλις, οἵ τε θεοῖσιν
102 ἱερά τε ῥέζουσι καὶ ἐξαίτους ἑκατόμβας.
103 Ἀλλὰ μάλ᾽ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
104 οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ᾽ ἁλιῶσαι.
105 Φησί τοι ἄνδρα παρεῖναι ὀϊζυρώτατον ἄλλων,
106 τῶν ἀνδρῶν οἳ ἄστυ πέρι Πριάμοιο μάχοντο
107 εἰνάετες, δεκάτῳ δὲ πόλιν πέρσαντες ἔβησαν
108 οἴκαδ᾽· ἀτὰρ ἐν νόστῳ Ἀθηναίην ἀλίτοντο,
109 ἥ σφιν ἐπῶρσ᾽ ἄνεμόν τε κακὸν καὶ κύματα μακρά.
110 Ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
111 τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
112 Τὸν νῦν σ᾽ ἠνώγειν ἀποπεμπέμεν ὅττι τάχιστα·
113 οὐ γάρ οἱ τῇδ᾽ αἶσα φίλων ἀπονόσφιν ὀλέσθαι,
114 ἀλλ᾽ ἔτι οἱ μοῖρ᾽ ἐστὶ φίλους ἰδέειν καὶ ἱκέσθαι
115 οἶκον ἐς ὑψόροφον καὶ ἐὴν ἐς πατρίδα γαῖαν.”

Homerus, Odyssee 5.97-115

Aantekeningen

regel 98 **ἐνισπήσω** *futurum van* **ἐνέπω** vertellen
regel 100 **διέδραμον** *aoristus van* **διατρέχω** oversteken
ἁλμυρός zout *(bijvoeglijk naamwoord)*
regel 102 **ἔξαιτος** voortreffelijk
regel 104 **ἁλιόω** negeren
regel 107 **εἰνάετες** negen jaar lang
regel 108 **ἠλιτόμην** *aoristus van* **ἁλιταίνω** krenken
regel 113 **ἀπονόσφιν** + *genitivus* ver van